τῶν σῶν ἀνθρώπων καὶ πατὴρ καὶ κυβερνῆτα· ὦ ζωῆς καὶ θανάτου
κύριε· ὦ ψυχῶν ἡμετέρων ταμία καὶ εὐεργέτα· ὦ πάντα ποιῶν καὶ με-
τασκευάζων τῷ τεχνίτῃ λόγῳ· κατὰ καιρὸν καὶ ὡς αὐτὸς ἐπί-
στασαι· τῷ βάθει τῆς σοφίας καὶ προνοίας· ὑμᾶς μὲν δέξαιο καισά-
ριον· ἀπαρχὴν τῆς ἡμετέρας ἀποδημίας· εἰ καὶ τὸ τελευταῖον πρῶ-
τον. συγχωροῦμεν τοῖς σοῖς λόγοις, οἷς τὰ πάντα φέρεται· δέ-
ξαιο δὲ καὶ ἡμᾶς ὕστερον ἐν καιρῷ δέοντι· οἰκονομήσας ἐν τῇ σαρκί,
ἐφ' ὅσον ἂν ᾖ συμφέρον· καὶ δέξαιο δὲ, διὰ τοῦ σοῦ φόβου ἑτοιμασθέν-
τας καὶ οὐ ταρασσομένους· οὐδὲ ὑποχωροῦντας ἐν ἡμέρᾳ τῇ
τελευταίᾳ· καὶ οἷον τῶν ἐντεῦθεν ἀποσπωμένους, ὃ τῶν φιλοκό-
σμων ψυχῶν πάθος καὶ φιλοσάρκων· ἀλλὰ προθύμους πρὸς τὴν αὐτόθι
ζωήν, τὴν μακραίωνά τε καὶ μακαρίαν· τὴν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ
ἡμῶν· ᾧ ἡ δόξα. εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν:~

## † ἐπιτάφιος εἰς τὴν ἀδελφὴν αὐτοῦ Γοργονίαν· λεχθεὶς ἐν κώμῃ Ἀριανζῷ τῆς Καππαδοκίας:~

ιβ Ἀδελφὴν ἐπαινῶν, τὰ οἰκεῖα θαυμάσομαι· οὐ μὴν ὅτι οἰκεῖα, διὰ
τοῦτο ψευδῆ. ἀλλ' ὅτι ἀληθῆ, διὰ τοῦτο ἐπαινετά· ἀληθῆ
δέ, οὐχ ὅτι δίκαια μόνον· ἀλλ' ὅτι καὶ γινωσκόμενα· καὶ τὸ πρὸς
χάριν οὐ συγχωρεῖται, κἂν ἐθελήσωμεν· ἀλλ' ὥσπερ ἵσταται οἷόν
τις ἀκριβὴς ἐξεταστὴς τῶν λόγων καὶ τῆς ἀληθείας, ὁ ἀκροατής· οὔτε
τὸ παρ' ἀξίαν ἐπαινῶν, καὶ τὸ κατ' ἀξίαν ἀπαιτῶν, ὅτι δίκαιον· ὥσ-
περ οὖν τοῦτον ἐγὼ φοβοῦμαι τὸν φόβον· μή τι τὴν ἀλήθειαν ὑπερ-
δραμὼν μέν· ἀλλὰ τοὐναντίον, μή τι τῆς ἀληθείας ἐλλείπωμεν· καὶ
παρὰ πολὺ τῆς ἀξίας ἐλθόντες ἐκείνης ζημιῶμεν τὴν δόξαν τοῖς